ἀνομωτάτῳ παρὰ πᾶσαν τὴν γῆν. Καὶ νῦν
οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. αἰσχύνη καὶ
ὄνειδος ἐγεννήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβο-
μένοις σε. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος
διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν δια-
θήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ'
ἡμῶν. Διὰ ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ
σοῦ, καὶ διὰ ἰσαὰκ τὸν δοῦλόν σου, καὶ ἰσραὴλ
τὸν ἅγιόν σου. Οἷς ἐλάλησας πληθῦναι
τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ,
καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσ-
σης. Ὅτι δέσποτα ἐσμικρύνθημεν
παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοί,
ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας
ἡμῶν. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ,
ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλο-
καύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορά,
οὐδὲ θυμίαμα, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐν-
ώπιόν σου, καὶ εὑρεῖν ἔλεος. Ἀλλ' ἐν ψυ-
χῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώ-
σεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυτώμα-
σι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν